4

# ΜΑΓΙΚᾺ ΛΌΓΙΑ ΤΩ͂Ν ἈΠῸ ΤΟΥ͂ ΖΩΡΟΆΣΤΡΟΥ ΜΆΓΩΝ.



PARISIIS

APVD IOANNEM LODOICVM TILETANVM,

VIA AD D. HILARIVM, SVB D. V. MARIA.

M. D. XXXVIII.

VNIVERSIDAD DE SALAMANCA

magi sunt apud persas et sunt philosophi, quorum princeps eius fuit zoroastres et post hunc per successionem ὀσθάναι ... ἀστράψυχοι, inquit suidas magus aliquis in malam partem.
plinius cap. 16 libri 7 risisse eodem die quo genitus esset unum (inquit) accepimus hominem zoroastrem, eidem cerebrum ita palpitasse ut impositam repelleret manum futurae praesagio scientiae. idem plin. cap. 42 lib. 11 tradit zoroastrem in desertis caseo vixisse annis viginti ita temperato ut vetustatem caseus ipse non sentiret.
hermippus qui de tota ea arte diligentissime scribit viciens centum M. versuum a zoroastre condita indicibus quoque voluminum eius explanavit. etiam preceptorem a quo institutum diceret, tradidit agonacem, ipsum vero 5 M. annorum ante troianum bellum ~~[illegible]~~ fuisse plin. cap. 1º lib. 30

Αλ. ασα δn εεα, οι εανιτζειμn, εαcρα μενθn,

(4) b 16189516

---

ὀχετὸς
meatus ductus canalis fluxus aque ductus rivus
sumpta metaphora meatus animae

τάξις
certa quedam ratio seu ordo institutum

qua ratione exemplar habet ἐρύης, unde nunc sit legendum ...

ίζεο σὺ ψυχῆς ὀχετόν, ὅθεν, ἢ τίνι τάξει,
Σώματι θητεύσας, ἐπὶ τάξιν ἀφ' ἧς ἐῤῥύης,
Αὖθις ἀναστήσεις, ἱερῷ λόγῳ ἔργον ἑνώσας.
Μὴ δὲ κάτω νεύσῃς, κρημνὸς κατὰ γῆς ὑπόκειται,
Ἑπταπόρου σύρων κατὰ βαθμίδος, ἣν ὑπὸ, δεινῆς
Ἀνάγκης θρόνος ἐστίν.
Σὸν γὰρ ἀγγεῖον, θῆρες χθονὸς οἰκήσουσιν.
Μὴ σύ γ' αὔξανε τὴν εἱμαρμένην.
Οὐδὲν ἀπὸ πατρικῆς ἀρχῆς ἀτελές τι προχωρεῖ.
Ἀλλ' οὐκ εἰσδέχεται κείνης τὸ θέλειν πατρικὸς νοῦς,
Μέχρις ἂν ἐξέλθῃ λήθης, καὶ ῥῆμα λαλήσῃ,
Μνήμην ἐνθεμένη, πατρικοῦ συνθήματος ἁγνοῦ.
Χρή σε σπεύδειν πρὸς τὸ φάος, καὶ πρὸς πατρὸς αὐγάς,
Ἔνθεν ἐπέμφθη σοὶ ψυχὴ πολὺν ἑσσαμένη νοῦν.
Αὐτοὺς δὲ χθὼν κατοδύρεται σφ' ἐς τέκνα μέχρις,
Ψυχῆς ἐξωστῆρες, ἀνάπνοοι εὔλυτοί εἰσιν.
Λαιῆς ἐν λαγόσιν Ἑκάτης, ἀρετῆς πέλε πηγή·
Ἔνδον ὅλη μίμνουσα, τὸ παρθένον οὐ προϊεῖσα.
Ψυχὴ ἡ μερόπων, θεὸν ἄγξει πως εἰς ἑαυτήν,
Οὐδὲν θνητὸν ἔχουσα, ὅλη θεόθεν μεμέθυσται
Ἁρμονίαν, αὐχεῖ γάρ, ὑφ' ᾗ πέλε σῶμα βρότειον.
Ὅττι ψυχή, πῦρ δυνάμει πατρὸς οὖσα φαεινόν,
Ἀθάνατός τε μένει, καὶ ζωῆς δεσπότις ἐστί·
Καὶ ἴσχει κόσμου πολλὰ πληρώματα κόλπων.
Ζήτησον παράδεισον.
Μὴ πνεῦμα μολύνῃς, μηδὲ βαθύνῃς τὸ ἐπίπεδον.



ars magica sine dubio orta est a zoroastre inter autores constat sed utrum unus hic an postea alius non satis constat. eudoxus qui inter sapientiae sectas clarissimam utilissimamque hanc prodidit sex milibus annorum ante platonis mortem dixit esse. stre...

a prefectura et dominatione i. dei summi patris in quid procedit

memoria tenes symbolum p...
trispura et sanctus
multam indutus mentem
respirantes facile delent
... pectoris intus est ...
in profundum deprimas
planum spiritum i. figura plani

UNIVERSIDAD DE SALAMANCA
GREDOS USAL.ES

Ἔστι καὶ εἰδώλῳ μερὶς εἰς τόπον ἀμφιφάοντα.
Μηδὲ τὸ τῆς ὕλης σκύβαλον κρημνῷ καταλείψῃς.
Μὴ ἐξάξῃς, ἵνα μὴ ἐξιοῦσα ἔχῃ τι.
Ἐκτείνας πύρινον νοῦν
ἔργον ἐπ' εὐσεβίης, ῥευστὸν καὶ σῶμα σαώσεις.
Ἐν δ' ἄρα κόλπων γαίης θρώσκουσ', ὅποτ' ἀληθὲς
σῆμα βροτῷ ἀνδρὶ χθόνιοι κύνες δεικνύντες.
φύσις πείθει, εἶναι τοὺς δαίμονας ἁγνούς,
καὶ τὰ κακῆς ὕλης βλαστήματα χρηστὰ καὶ ἐσθλά.
Αἱ ποιναὶ μερόπων ἄγχτειραι.
Ἡγείσθω, ψυχῆς βάθος ἄμβροτον· ὄμματα δ' ἄρδην,
πάντ' ἐκπέτασον ἄνω.
Ὦ τολμηροτάτης φύσεως ἄνθρωπε τέχνασμα.
Πολλάκις ἢν λέξῃς μοι, ἀθρήσεις πάντη λέοντα.
Οὔτε γὰρ οὐράνιος κυρτὸς τότε φαίνεται ὄγκος.
Ἀστέρες οὐ λάμπουσι, τὸ μήνης φῶς κεκάλυπται.
χθὼν οὐχ ἕστηκε, βλέπεται δὲ τὰ πάντα κεραυνοῖς.
Μὴ φύσεως καλέσῃς αὔτοπτον ἄγαλμα.
Πάντοθεν ἀπλάστῳ ψυχῇ, πυρὸς ἡνία τεῖνον.
Ἡνίκα μὲν βλέψῃς μορφῆς ἄτερ εὔιερον πῦρ
λαμπόμενον σκιρτηδὸν ὅλου κατὰ βένθεα κόσμου,
κλῦθι πυρὸς τὴν φωνήν.
Σύμβολα πατρικὸς νόος ἔσπειρεν ταῖς ψυχαῖς.
Μάνθανε τὸ νοητόν, ἐπεὶ νόου ἔξω ὑπάρχει.
Ἔστι δὲ δή τι νοητόν, ὃ χρή σε νοεῖν νόου ἄνθει.
Εἰσὶν πάντα πυρὸς ἑνὸς ἐκγεγαῶτα.



Πάντα γὰρ ἐξετέλεσσε πατήρ, καὶ νῷ παρέδωκε
δευτέρῳ, ὃν πρῶτον κλήζει τὰ ἔθνεα ἀνδρῶν.
Νοούμεναι ἴυγγες πατρόθεν νοέουσι καὶ αὐταί,
βουλαῖς ἀφθέγκτοισι κινούμεναι ὥστε νοῆσαι.
Ὦ πῶς κόσμος ἔχει νοεροὺς ἀνοχῆας ἀκαμπεῖς.
Ἑαυτὸν ὁ πατὴρ ἥρπασεν.
Οὐδ' ἐν ἑῇ δυνάμει νοερᾷ, κλείσας ἴδιον πῦρ.
Πατὴρ οὐ φόβον ἐνδιάσκει, πειθὼ δ' ἐπιχεύει.

ΥΠΟΜΝΗΜΑ.

ΔΙΖΕΟ ΣΥ ΨΥΧΗΣ ΟΧΕΤΟΝ. Οἱ ἀπὸ Ζωροάστρου μάγοι νομίζουσιν, ὥσπερ καὶ ἄλλοι συχνοί, τὴν ψυχὴν ἀνθρωπίνην, ἀθάνατον οὖσαν, ἄνωθέν τε καταϊέναι, τῷ θνητῷ τῷδε σώματι θητεύουσαν, ἤτοι ἐπί τινα χρόνον ὡρισμένην αὐτῇ, καὶ ζωοῦσάν τε καὶ κοσμήσουσαν ἐκ τῶν δυνατῶν, καὶ αὖθις ἐνθένδε ἐκεῖσε ἀποχωρεῖν. πλειόνων δ' ἐκεῖ ὄντων τῇ ψυχῇ χώρων, καὶ τοῦ μὲν ἀμφιφαοῦς, τοῦ δ' ἀμφικνεφοῦς, τῶν δέ τινων μεταξὺ τούτων, ἑτεροφαοῦντε δὴ καὶ ἑτεροκνεφῶν· ἀπό γε τοῦ ἀμφιφαοῦς ποτε ἐς τόδε τὸ σῶμα κατερρυηκυῖαν τὴν ψυχήν, καλῶς μὲν θητεύσασαν, ἐς τὸν αὐτὸν χῶρον αὖθις ἀναφέρειν· μὴ καλῶς δέ, ἐς τοὺς τούτου χείρους ἐνθένδεν ἀποχωρεῖν, κατ' ἀλόγους τῶν αὐτῇ βεβιωμένων. πρὸς οὖν ταῦτα λέγει τὸ λόγιον, ζήτει σὺ τὸν τῆς ψυχῆς ὀχετόν, ἤτοι τὴν ὁδόν, ᾗ σοι ἡ ψυχὴ ἐρρύη· ὅθεν, ἢ τίνι τάξει, τοῦ βίου δηλαδή· τῷδε τῷ σώματι θητεύσας, αὖθις

τὴν αὐτὴν τάξιν, ἀφ' ἧς ἐξέῤῥυης, ἀναστήσεις, τὸν αὐτὸν δηλαδὴ ὀχετὸν ψυχῆς ἑνώσας τῷ ἱερῷ λόγῳ καὶ ἔργον ἱερὸν· ἱερὸν μὲν οὖν λόγον, τὸν περὶ τῆς θεοσεβείας φησίν· ἔργον δὲ, τὴν τελετήν. λέγει οὖν τὸ λόγιον, ὅτι πρὸς τῷ περὶ τῆς θεοσεβείας λόγῳ, καὶ τῇ τελετῇ χρῶ, πρὸς τὴν τῆς ψυχῆς ταύτην ἀναγωγήν. ΜΗ ΔΕ ΚΑΤΩ ΝΕΥΣΗΙΣ. κρημνὸν τὴν εἰς φθορὰν φησὶ καὶ κακίαν, καὶ κακοδαιμονίαν ὑποφοράν· γῆν δὲ τὸ γεῶδες καὶ θνητὸν σῶμα· γῇ μὲν γὰρ καὶ χθονὶ, τὴν θνητὴν φύσιν· πυρὶ δὲ τὴν θείαν, τὰ λόγια πανταχοῦ σημαίνει· ἑπτάπορον δὲ βαθμίδα φησὶ τὴν ἐκ τῶν πλανήτων εἱμαρμένην, ὑφ' ἣν καὶ δεινήν τινα ἱδρῦσθαι καὶ ἀπαράτρεπτον ἀνάγκην. λέγει οὖν τὸ λόγιον, μὴ κάτω πρὸς τὸ θνητὸν δὴ σῶμα ἀποκλίνῃς, ὅτι τῇ ἀπὸ τῶν πλανήτων μόνῃ ὡς τὰ πολλὰ ὑποπίπτον εἱμαρμένῃ, τῶν οὐκ ἐφ' ἡμῖν μᾶλλόν ἐστι. κακοδαιμονήσεις γὰρ, ἢν πρὸς τοῦτο ὅλος ἀποκλίνῃς, ἀτυχῶν, καὶ τῆς βουλήσεως ὑπὸ τῆς πεπρωμένης ἀνάγκης ἑκάστοτε ἐκπίπτων. ΣΟΝ ΓΑΡ ΑΓΓΕΙΟΝ. τὸ τῆς σῆς ἀγγεῖον ψυχῆς, τὸ θνητὸν δὴ τοῦτο σῶμα, οὗ λαὶ καὶ κνώδαλα οἰκήσουσιν. ΜΗ ΣΥ ΓΑΥΞΑΝΕ. μὴ σὺ πείρω αὔξειν τὴν σὴν εἱμαρμένην, ἤτοι μείζω ποιεῖν τῆς δεδομένης· οὐ γὰρ οἷός τ' ἔσῃ δηλαδή. ΟΥ ΓΑΡ ΑΠΟ ΠΑΤΡΙΚΗΣ. οὐ γὰρ ἀπὸ πατρικῆς ἀρχῆς, τοῦ τοῦ ἀνωτάτω δηλαδὴ θεοῦ, χωρεῖ τι ἀτελὲς, δηλαδὴ ὥστ' ἄν σε καὶ δύνασθαι αὐτοτελειοῦν· ἐκεῖθεν γὰρ δεῖ ἅπαντα χωρεῖν, ὥστε πρὸς τὴν τελειότητα τείνειν τὴν τοῦ ὅλου. ΑΛΛ' ΟΥΚ ΕΙΣΔΕΧΕΤΑΙ ΚΕΙΝΗΣ. ὁ πατρικὸς νοῦς, ὁ δεύτερος



δηλαδὴ θεὸς, καὶ τῆς ψυχῆς προσεχὴς δημιουργός· οὐκ εἰσδέχεται ἐκείνης τὴν θέλησιν, μέχρις ἂν ἐξέλθῃ τῆς λήθης, ἣν ἐκ τῆς πρὸς τόδε τὸ σῶμα ἐπιπλοκῆς ἔπαθεν· καὶ λαλήσῃ τὸ ῥῆμα, ἤτοι λόγον φωνήσῃ τινὰ, μνήμης ἐχόμενον τοῦ πατρικοῦ θείου συνθήματος· τοῦτο δ' ἐστὶ τὴν τῆς τοῦ καλοῦ διώξεως ἔννοιαν, ἧς τὴν ψυχὴν ἀναμνησθεῖσαν, οὕτως ἤδη ἂν τῷ ἑαυτοῦ δημιουργῷ μάλιστα ἀρέσκειν. ΧΡΗ ΣΕ ΣΠΕΥΔΕΙΝ. φῶς καὶ αὐγὰς πατρὸς τῇ ψυχῇ, τὸν ἀμφιφαῆ εἶναι αὐτοῦ χῶρον, ὅθεν τὴν ψυχὴν τὸν ἄλλον νοῦν περιβεβλημένην, ἐνθάδε καταπεμφθῆναι· πρὸς οὖν τὸ αὐτὸ φῶς, χρῆναι αὖθις σπεύδειν. ΑΥΤΟΥΣ ΔΕ, ΧΘΩΝ ΚΑΤΟΔΥΡΕΤΑΙ. τοὺς δὲ μὴ πρὸς τὸ αὐτὸ φῶς, ὅθεν αὐτοῖς ἐπέμφθη ἡ ψυχὴ, σπεύδοντας αὖθις, ἡ χθὼν, ἤτοι ἡ θνητὴ φύσις, κατοδύρεται, οἳ πεμφθέντες ἐφ' ᾧ καὶ αὐτὴν κοσμῆσαι· οἱ δὲ πρὸς τῷ μὴ καὶ αὐτὴν κοσμῆσαι, καὶ ἑαυτοὺς ἤσχυντο, μοχθηρῶς βεβιωκότες· προσαπολαύειν δὲ δὴ καὶ τὰ τέκνα τῆς τῶν γονέων κακίας, πονηρᾶς ἀγωγῆς τῆς ὑπ' αὐτῶν τυγχάνοντα. ΨΥΧΗΣ ΕΞΩΣΤΗΡΕΣ. οἱ τὴν ψυχὴν ἐξωθοῦντες λόγοι, ἐκ τῆς κακίας δηλαδή· καὶ οὔπω δὴ ἀναπνεῖν διδόντες, εὔλυτοί εἰσιν, ἤτοι οὐ χαλεπῶς τῆς πρὸς σφᾶς ἐχούσης αὐτοὺς λήθης ἀπολυόμενοι. ΛΑΙΗΣ ΕΝ ΛΑΓΟΣΙΝ ΚΟΙΤΗΣ. ἐν ταῖς λαγόσι τῆς σῆς λαιᾶς κοίτης, ὑπάρχει ἡ τῆς ἀρετῆς πηγὴ, ἤτοι ἡ δύναμις αὐτῆς· ἔνδον τε ὅλη μένουσα, καὶ οὔποτε τὸ παρθένον, ἤτοι ἀπαθὲς ἑαυτῆς ἀποβάλλουσα· ἀπαθῆ γὰρ εἶναι ἀναπόβλητον ἐν ἡμῖν τὴν τῆς ἀρετῆς ἀεὶ δύναμιν ὑπάρχειν· κἂν ἡ ἐνέργεια αὐτῆς ἀπο-

VNIVERSIDAD DE SALAMANCA · GREDOS.USAL.ES

βλητικὴ ἐν λαιοῖς δὲ τὴν τῆς ἀρετῆς φησὶν ὑπάρχειν δύναμιν, ἐν δὲ τοῖς δεξιοῖς τὴν ἐνέργειαν αὐτῆς βούλεσθαι τετάχθαι. κοῖτον δ' εἶναι ἡμῶν τῆς ψυχῆς, τὴν ταῖς διαφόροις αὐτῆς ἕξεσιν ὑποκειμένην χώραν. ΨΥΧΗ Η ΜΕΡΟΠΩΝ. Ἡ ψυχὴ ἡ ἀνθρωπίνη, θεόν πως ἑαυτὴν ἄγξει, ἤτοι ἰσχυρῶς ἑνώσει, τὸν ἑαυτῆς δηλαδὴ προσεχῆ προστάτην, τῇ πρὸς αὐτὸν κατὰ δύναμιν ὁμοιώσει· οὐδὲν ἔχουσα καθ' ἑαυτὴν θνητόν, ὅλη θεόθεν μεμέθυσται, ἤτοι πεπλήρωται τῶν θείων καλῶν· ἐπεὶ καὶ τῷ θνητῷ τῷδε ἐνδέδεται, ἀλλὰ καὶ οὕτως τὴν ἁρμονίαν, ἤτοι τὴν ἕνωσιν, ὑφ' ἧς τὸ βρότειον ὑπάρχει σῶμα, αὐχεῖ, οὐκ αἰσχύνεται, ἀλλὰ καὶ φρονεῖ τι ἐπ' αὐτῇ· ὡς αὐτὴ οὖσα, ὥστε τῶν θνητῶν τοῖς ἀθανάτοις ἐν τῷ ἀνθρώπῳ συνδουμένων, οὕτω δὴ τὸ πᾶν εἰς μίαν τινὰ ἁρμονίαν συγκροτεῖσθαι. ΟΤΙ ΨΥΧΗ ΠΥΡ. Πατρὸς δύναμιν, καὶ δύναμιν αὐτοῦ νοεράν, ἢ νοῦν πατρικόν, τὸν αὐτὸν δεύτερον θεόν, τὰ λόγια ταῦτα πανταχοῦ καλεῖ, πρώτιστον τῶν ἄλλων πάντων ἐκ τοῦ πατρὸς ἢ αὐτοῦ θεοῦ προεληλυθότα. λέγει δὲ, ὅτι τοῦ πατρὸς ταύτῃ τῇ δυνάμει προσεχῶς δηλαδὴ δεδημιουργημένη ἡ ψυχὴ πῦρ οὖσα φαεινόν, ἤτοι θεία τις οὐσία καὶ νοερά, μένει τε ἀθάνατος καὶ τὴν θεότητα τῆς οὐσίας, καὶ δεσπότις ἐστὶ ζωῆς, δηλαδὴ τῆς ἑαυτῆς, ἅτε οὐκ ἀποβλητὸν ἔχουσα τὸ ζῆν. ἃ μὲν γὰρ ἂν ἀποβλητὰ ἔχοιμεν, τούτων οὐδ' ἂν δεσπόται που εἴημεν, χρῆσις δ' αὐτῆς μόνη ἡμῖν δίδοιτο αὐτῶν· ἃ δ' ἂν μὴ ἀποβλητά, κἂν δεσπόται τούτων εἴημεν. ἴσχει δὲ δὴ ἡ ψυχή, κατὰ τὴν ἑαυτῆς δηλαδὴ ἀϊδιότητα, πολλὰ πληρώματα τῶν τοῦ κόσμου κόλ-



πων, ἤτοι τῶν διαφόρων ἑαυτοῦ ἐν τῷ κόσμῳ χώρων, ὧν πρὸς λόγον τοῦ τῇδε αὐτῇ βεβιωμένων ἑκάστοτε τυγχάνει. ΖΗΤΗΣΟΝ ΠΑΡΑΔΕΙΣΟΝ. τὸν ἀμφιφαῆ τῆς ψυχῆς χῶρον. ΜΗ ΠΝΕΥΜΑ ΜΟΛΥΝΗΣ. Οἱ μὲν περὶ Πυθαγόραν καὶ Πλάτωνα σοφοὶ τὴν ψυχὴν οὐ πάντῃ πάντῃ χωριστὴν οὐσίαν παντὸς σώματος νομίζουσιν, οὐ μὴν δή, οὐδ' αὖ πάντῃ ἀχώριστον· ἀλλὰ τῇ μὲν χωριστήν, τῇ δ' ἀχώριστον· τῇ μὲν δυνάμει δήπου χωριστήν, τῷ δ' ἔργῳ ἀχώριστον ἀεὶ τιθέμενοι· τριττὸν γὰρ δὴ τὸ σύμπαν εἰδῶν τιθέντες εἶδος, τὸ μὲν πάντῃ χωριστὸν ὕλης, τῶν νόων δὴ τῶν ὑπουρανίων, τὸ δ' ἀχώριστον πάντῃ, οὐ τήν γε οὐσίαν καθ' ἑαυτὴν ὑφεστηκυῖαν ἔχον, ἀλλὰ τῆς ὕλης διεξημμένην, κἀκείνης τῆς φύσεως σκεδασθῇ λυομένην ποτέ, συσκεδαννύμενόν τε καὶ ἀπολλύμενον, καὶ τοῦτ' εἶναι τὸ ἄλογον δὴ εἶδος σύμπαν· τρίτον δὲ μεταξὺ τούτοιν εἶδος, τὴν ψυχὴν τιθέντες τὴν λογικήν, τῶν μὲν νόων τῶν ὑπουρανίων διαφέρουσαν τῷ ἀεὶ ὕλῃ συνεῖναι· τοῦ δ' ἀλόγου εἴδους, τῷ μὴ αὐτὴν ὕλης ἐξῆφθαι, ἀλλὰ τοὐναντίον, τὴν ὕλην ἑαυτῆς ἔχειν ἐξημμένην, οὐσίαν αὐτὴν δι' ἑαυτῆς καὶ καθ' αὑτὴν τήν γε δυνάμει ἔχουσαν, ὑφεστηκυῖαν, ἁμόρφη τε καὶ αὐτὴν κατὰ τῶν νόων τῶν ὑπουρανίων, οἷς καὶ συγγενὴς πως τὰ ἔργα ἀποδίδωσι· τῶν αὐτῶν ὧνπερ κἀκεῖνοι ἐφαπτομένη καὶ αὐτή, τῆς τῶν ὄντων δὴ γνώσεως ἢ θεωρίας, ἄχρι καὶ αὐτοῦ τοῦ ἀνωτάτω θεοῦ, καὶ διὰ τοῦτο ἀνώλεθρον· τοῦτο δὲ εἶδος οὖσαν τὴν ψυχήν, σῶμά τι ἀεὶ ζυγὲν εἶναι αἰθέριον, ὃ ὄχημα ταύτῃ ἑαυτῆς, συναπαθανατίζουσαν καὶ αὐτὸ τῇ προσεχῇ ἐπαφῇ· εἶναι δ' οὐδὲ τοῦτο αὐτῆς



UNIVERSIDAD DE SALAMANCA

ὄχημα, ἄψυχον καθ' αὑτό, ἀλλ' ἐψυχῶσθαι καὶ αὐτό, τῷ ἑτέρῳ τε καὶ ψυχῆς ἀλόγῳ εἴδει (ὃ δὴ ψυχῆς λογικῆς εἴδωλον οἱ σοφοὶ καλοῦσι) φαντασίᾳ τε δὴ κεκοσμημένον, καὶ αἰσθήσει, ὅλῳ δι' ὅλου ὁρῶντί τε καὶ ἀκούοντι, καὶ πάσαις αἰσθήσεσιν αἰσθανομένῳ, σὺν ταῖς ἄλλαις ταῖς τοιαύταις ἑπομέναις ψυχῆς δυνάμεσιν ἀλόγοις. διὰ μὲν οὖν τῆς κρατίστης τῆς τοιούτου σώματος δυνάμεως φαντασίας, τὴν ψυχὴν τὴν λογικὴν ὅλως τοιούτῳ ἀεὶ συνεῖναι σώματι· διὰ δὲ τοῦ τοιούτου σώματος, τῷ δὲ ποτὲ τοῦ θνητοῦ τῷ γε ἀνθρωπίνῳ συγγίνεσθαι ὅλου ὅλῳ, τῷ τοῦ ἐμβρύου ζωτικῷ πνεύματι, διὰ συγγένειάν τινα ἐμπλεκομένου, ἅτε πνεύματός τινος καὶ αὐτοῦ ὄντος· τὰς γε μὴν δαιμονίας ψυχάς, τῇ μὲν ἄλλῃ οὐ πολλῷ τῶν ἀνθρωπίνων διαφέρειν, γενναιοτέρας δ' ὅμως οὔσας, αὐτάς τε καὶ γενναιοτέροις ὀχήμασι χρωμένας, ἀμίκτοις τῇ γε θνητῇ ταύτῃ φύσει· τὰς δὲ τῶν ἄστρων, πολὺ ἔτι καὶ αὐτῶν τῶν γε δαιμονίων κρείττους οὔσας, κρείττοσι καὶ ὀχήμασι χρῆσθαι, τοῖς οὕτω διὰ μέγεθος δραστικῆς δυνάμεως, λαμπροῖς τούτοις σώμασι. ταύταις περὶ ψυχῆς ταῖς δόξαις, καὶ οἱ ἀπὸ ζωροάστρου οὗτοι μάγοι φαίνονται ἔτι πρότερον χρώμενοι. τὸ τοιοῦτον μὲν οὖν τῆς ψυχῆς πνεῦμα μὴ μολύνῃς φησὶ τὸ λόγιον, μὴ δὲ βαθύνῃς ἐπίπεδον ὄν· ἐπίπεδον αὐτὸ καλῶν, οὐχ ὡς οὐ τριχῇ διαστατὸν (σῶμα γάρ) ἀλλὰ τὴν ἄγαν αὐτοῦ λεπτότητα ἐμφαίνων· ἐπίπεδον δ' αὐτὸ καλεῖ, μὴ βαθύνειν οὖν αὐτὸ παρακελεύεται, ἤτοι μὴ παχύνειν, πλείονος ὕλης ἐν τῷ αὐτοῦ ὄγκῳ προσθήκῃ· παχύνεσθαι δὲ τὸ τοιοῦτον τῆς ψυχῆς πνεῦμα, τῇ πρὸς τὸ θνητὸν σῶμα αὐτοῦ ἄγαν ἀποκλίσει. ἘΣΤΙ



ΚΑῚ ΕἸΔΏΛῼ ΜΕΡῚΣ. εἴδωλον ψυχῆς καλεῖ, τὸ ἐχόμενον τοῦ λογικοῦ ἄλογον, ὃ τοῦ ὀχήματος αὐτοῦ ἐξῆπται. λέγει οὖν ὡς ἔστι καὶ τῷ τοιούτῳ εἰδώλῳ μερὶς εἰς τὸν ἀμφιφανῆ χῶρον· οὐ γὰρ ἀποτίθεσθαί ποτε ψυχὴν τὸ ἑαυτοῦ προσεχὲς ὄχημα. ΜῊ ΔῈ ΤῸ ΤΗ͂Σ ὝΛΗΣ ΣΚΎΒΑΛΟΝ. ὕλης σκύβαλον, τὸ θνητὸν σῶμα λέγει, ὃ παρακελεύεται, μὴ γὰρ τοῦτο εἰκῇ καὶ ὡς περιττὸν περιορᾶν, ἀλλὰ φροντίζειν τι καὶ περὶ αὐτοῦ, μένοντα ἔτι ἐν τῷδε τῷ βίῳ, ὅπως ὑγιαίνοι τε ἐκ τῶν δυνατῶν, καὶ καθαρὸν εἴη, καὶ τἄλλα τῷ τῆς ψυχῆς κόσμῳ συμφωνοῖ. ΜῊ ἘΞΆΞΗΣ. μὴ ἐξάξῃς, τὴν ψυχὴν δηλαδὴ τοῦ θνητοῦ σώματος, ἵνα μὴ ἐξιοῦσα ἔχῃ τι· αὐτὸ δὴ τοῦτο, τὸ παρὰ τοὺς φυσικοὺς θεσμοὺς ἑαυτὴν ἐξαγαγεῖν. ἘΚΤΕΊΝΑΣ ΠΎΡΙΝΟΝ ΝΟΥ͂Ν. ἐκτείνας τὸν σὸν θεῖον νοῦν, ὅθι τὸ τῆς εὐσεβείας ἔργον, ἤτοι τὴν εὐσεβῆ τελετήν, καὶ τὸ θνητὸν σῶμα σώσεις ὑγιεινότερον καὶ αὐτὸ διὰ τῆς τελετῆς ποιήσας. ἘΚ Δ' ἌΡΑ ΚΌΛΠΩΝ ΓΑΊΗΣ. εἴωθε τοῖς πολλοῖς τῶν τελουμένων, φαίνεσθαι κατὰ τὰς τελετάς, κυνώδη τινά, καὶ ἄλλως ἀλλόκοτα τὰς μορφὰς φάσματα· ταῦτ' οὖν φησὶ τὸ λόγιον, ἐκ τῶν τῆς γῆς ὁρμᾶσθαι κόλπων, δηλαδὴ τοῦ γεώδους τοῦδε καὶ θνητοῦ σώματος, καὶ τῶν τούτῳ συμφύτων παθῶν ἀλόγων, οὔπω ὑπὸ τοῦ λόγου ἱκανῶς κατακεκοσμημένων, εἴδωλα τῶν τοιούτων τῶν τοῦ τελουμένου ψυχῆς παθῶν, φαινόμενα ἀνυπόστατα, καὶ διὰ τοῦτο οὐδ' ἀληθὲς σημαίνοντα οὐδέν. Ἡ ΦΎΣΙΣ ΠΕΊΘΕΙ. ἡ φύσις, ἤτοι ὁ φυσικὸς λόγος πείθει, τοὺς δαίμονας ἁγνούς, καὶ ἁπλῶς πάντα τὰ

αὐτο

ἐκ τοῦ θεοῦ αὐτοαγαθοῦ ὄντος προεληλυθότα χρηστά ἐστι, καὶ αὐτὰ τὰ κακῆς ὕλης βλαστήματα, ἤτοι τὰ τῆς ὕλης ἐξημμένα εἴδη· κακὴν δὲ τὴν ὕλην φησὶν, οὐ τῇ οὐσίᾳ, πῶς γὰρ ἂν καὶ εἴη τῇ οὐσίᾳ κακή, ἧς τὰ βλαστήματα χρηστὰ καὶ ἐσθλὰ, ἀλλ' ὡς ἐσχάτην ἐν ταῖς οὐσίαις τετυγμένην καὶ τοῦ ἀγαθοῦ ἐπ' ἐλάχιστον μετέχουσαν, τὸ ἐλάχιστον αὐτοῦ ἀγαθὸν τῷ κακῷ σημαῖνον. τοῦτο δὴ βούλεται τὸ λόγιον, εἰ τὰ κακῆς ὕλης βλαστήματα χρηστὰ, τῆς ἐσχάτης δηλαδὴ οὐσίας, πολλῷ μᾶλλον οἱ δαίμονες οἱ τοσοῦτον αὐτῆς ὑπερανέχοντες, τῷ τε λογικῷ τῆς φύσεως, καὶ τῷ πρὸς τὴν θνητὴν φύσιν ἀμίκτῳ. ΑἹ ΠΟΙΝΑΊ. Αἱ ποιναὶ, ἤτοι αἱ κολαστικοὶ δαίμονες, ἄγχιστραι τῶν ἀνθρώπων εἰσίν· ἤτοι συνελκτικαὶ διὰ τὸ ἀπάγειν τῆς κακίας αὐτοὺς, τῇ ἀρετῇ ἐγκαταδοῦσαι. ἩΓΕΊΣΘΩ ΨΥΧΗ͂Σ. Ἡγείσθω, τῆς σῆς ψυχῆς τὸ θεῖον βάθος· τὰ δὲ σὰ ὄμματα πάντα ὁμοῦ, ἤτοι τὰς σὰς γνωστικὰς δυνάμεις, ἄνω ἐκπέτασον. Ὦ ΤΟΛΜΗΡΟΤΆΤΗΣ· τολμηροτάτης φύσεως τέχνασμα τὸν ἄνθρωπον καλεῖ, διὰ τὸ μεγάλοις πράγμασιν ἑαυτὸν ἐπιβάλλειν. ΠΟΛΛΆΚΙΣ ἮΝ ΛΈΞῌΣ ΜΟΙ. Ὡς ἐκ τοῦ θεοῦ λέγει τὸ λόγιον τῷ τελουμένῳ, ἐὰν πολλάκις λέξῃς μοι, ἤτοι καλέσῃς με, ὄψει πάντα κατ' αὐτὸ τὸ λεκτὸν, ἐμὲ δηλαδὴ ὃν καλεῖς· οὐδὲν γὰρ ἄλλο τότε ὀφθήσεταί σοι ἢ τὰ πάντα κεραυνοί, πῦρ, δηλαδὴ τοῦ κόσμου πανταχοῦ ἀΐσσον. ΜῊ ΦΎΣΕΩΣ ΚΑΛΈΣῌΣ. Μὴ ζητήσῃς ἰδεῖν αὐτοπτὸν ἄγαλμα τῆς φύσεως δηλαδὴ τῆς τοῦ θεοῦ· ἅπερ οὐκ ὀφθαλμοῖς ὁρατὰ, τάδε τελουμένοις φαινόμενα. κεραυνοὶ καὶ πῦρ καὶ ἤτοι ἄλλο· σύμβολα ἄλλως ἐστὶν οὐ θεοῦ

[Marginalia: prependens; decet; χρηστοὶ εἰσί; prestantes; tanquam; in aliquibus no legitur; fulmina et fulgora, fulgetra; saliens]



τῆς φύσεως. ΠΆΝΤΟΘΕΝ ἈΠΛΆΣΤΩΙ. τὰ τοῦ φαινομένου σοι κατὰ τὴν τελετὴν πυρὸς ἡνία πάντοθεν σὺ σπάσον, δηλαδὴ τεῖνον ἐν ψυχῇ ἀπλάστῳ ἤτοι ἁπλῇ, καὶ οὐ ποικίλῃ τὸ ἦθος. ἩΝΊΚΑ ΜῈΝ ΒΛΈΨῌΣ. Ἡνίκα, ἂν ἴδῃς ἀσχημάτιστον πῦρ θεῖον, καθόλου λάμπον τὸν κόσμον σκιρτηδόν· ἤτοι σὺν χάριτι καὶ ἵλεων τούτου τὴν φωνὴν ἄκουσον, ὡς ἀληθεστάτην πρόγνωσιν φέρουσαν. ΣΎΜΒΟΛΑ ΠΑΤΡΙΚῸΣ. ὁ πατρικὸς νοῦς, ὁ τῆς ψυχῆς δηλαδὴ οὐσίας προσεχὴς δημιουργὸς, οὗτος ταῖς ψυχαῖς ἐνέσπειρε τὰ σύμβολα ἤτοι τὰς τῶν νοητῶν εἰδῶν εἰκόνας, ἐξ ὧν μὲν τῶν ὄντων ψυχὴ ἑκάστη ἐν ἑαυτῇ ἀεὶ κέκτηται λόγους. ΜΆΝΘΑΝΕ ΤῸ ΝΟΗΤΌΝ. Μάνθανε τὸ νοητὸν, ἐπεὶ ἔξω τοῦ σοῦ ὑπάρχει νοῦ ἐνεργείᾳ δηλαδή· εἰ γὰρ καὶ ἐνεσφραγισμέναι σοι ὑπὸ τοῦ δημιουργοῦ αἱ τῶν νοητῶν εἰσὶν εἰκόνες, ἀλλὰ δυνάμει ἐπίκεινται σοῦ τῇ ψυχῇ, δεῖ δέ σε καὶ ἐνεργείᾳ τὴν τοῦ νοητοῦ γνῶσιν μετιέναι. ἜΣΤΙ ΔῈ ΔΉ ΤΙ ΝΟΗΤῸΝ. τὸν ἀνωτάτω θεὸν, ἅτε ἐν ἄκρως ὄντα οὐκ ἔστιν ὡσαύτως τοῖς ἄλλοις νοητοῖς νοεῖν, ἀλλὰ τῷ τοῦ νοῦ ἄνθει, ἤτοι τῷ ἀκροτάτῳ τε καὶ ἑνιαίῳ τῆς ἡμετέρας νοήσεως. ΕἸΣῚΝ ΠΆΝΤΑ. Ἅπαντα ἐξ ἑνὸς πυρὸς ἤτοι θεοῦ ἐστι γεγονότα. ΠΆΝΤΑ ΓᾺΡ ἘΞΕΤΈΛΕΣΕ. ὁ γὰρ πατὴρ ἅπαντα ἐξετέλεσε, τὰ νοητὰ δηλαδὴ εἴδη (ταῦτα γάρ ἐστι, τὰ ἐκτετελεσμένα τε καὶ τέλεια) καὶ τῷ μεθ' ἑαυτὸν δευτέρῳ θεῷ παρέδωκεν, ἄρχειν δηλαδὴ καὶ ἡγεῖσθαι αὐτῶν, ὥστε ἦν τι καὶ διὰ τούτου πράγματα τοῦ θεοῦ, πρὸς παράδειγμα ἑαυτοῦ τε καὶ τῆς ἄλλης νοητῆς οὐσίας· καὶ τούτῳ ἐκ

τοῦ ἀνωτάτω πατρὸς ἔχειν τὴν γένεσιν· τοῦτον τὸν δεύτερον θεόν, πρῶτον φησὶν ἑαυτοῖς τίθεσθαι τὰ τῶν ἀνθρώπων ἔθνη, ὅσα δηλαδή, τὸν μὴ κόσμου τοῦδε προσέχει τινὰ δημιουργὸν νομίζει· τούτου δ' οὐκ ἔτι ἀνωτέρω οὐδένα. ΝΟΟΎΜΕΝΑΙ ἼΥΓΓΕΣ. ἴυγγας, τὰ νοητὰ εἴδη καλεῖ, νοούμεναί τε πατρόθεν, καὶ αὐτὰ νοοῦνται· κινούμενά τε πρὸς τὰς νοήσεις βουλαῖς ἀφθέγκτοις, ἤτοι ἀνεκφωνήτοις· κίνησιν δ' ἐνταῦθα νοήσεως, οὐ μετάβασιν βούλοιτ' ἂν λέγειν, οὐδὲ διέξοδον, ἀλλ' ἁπλῶς τὴν πρὸς τὰ νοούμενα σχέσιν· ὥστε δὲ καὶ τὸ βουλαῖς ἀφθέγκτοις, τοῦτ' ἂν βούλοιτο τὸ ἀκινήτοις· ὥς τό γε φθέγγεσθαι ἐν κινήσει ὄν· καὶ λέγει αὐτοὺς, ὡς ἀκίνητα τὰ τοιαῦτα εἴδη· καὶ οὐ διεξοδικῶς, ὥσπερ ἡ ψυχὴ τὴν πρὸς τὰ νοούμενα ἔχει σχέσιν. ὩΠΩ͂Σ ΚΌΣΜΟΣ ἜΧΕΙ. τὰ προύχοντα τῶν νοητῶν εἰδῶν, καὶ τῶν ἐν τῷδε τῷ οὐρανῷ ἀθανάτων πρωταγωγά· νοεροὺς ἀνοχῆας κόσμου καλεῖ, ὧν κορυφαῖον, τὸν μὲν τὸν πατέρα δεύτερον βούλεται εἶναι θεόν· ἀκαμπεῖς δὲ ἀνοχῆας φάσκων τοῦτο τὸ λόγιον ἔχειν τὸν κόσμον, δῆλον ὅτι ἄφθαρτον αὐτὸν βούλεται εἶναι. ἙΑΥΤῸΝ Ὁ ΠΑΤῊΡ ἭΡΠΑΣΕΝ. ἑαυτὸν ὁ πατήρ, τῶν ἄλλων πάντων ἐξαίρετον ἐποίησεν· οὐδ' ἐν τῇ ἰδίᾳ νοερᾷ δυνάμει, ἤτοι τῷ μεθ' ἑαυτὸν δευτέρῳ θεῷ κλείσας, ἤτοι ὁρίσας τὸ ἴδιον πῦρ, τὴν ἰδίαν δὴ θεότητα· οὐ γάρ τοι πάμπαν ἀγέννητον καὶ αὐτὸ δι' αὐτὸ ὄν, ὧν ἡ αὐτοῦ θεότης τῶν ἄλλων πάντων ἐξῄρηται· ἅτε οὐδ' ὅλως μεταδοτὸν ἑτέρῳ ὄν, κἂν ἀγαπᾶται ὑπὸ πάντων οὐδὲ μετέδωκεν οὐδενὶ οὐ φθόνῳ· τῷ δ' ὅλως ἀδυνάτῳ τοῦ πράγματος, τῷ δὲ ἀντίφασιν περιί-



στασθαι. ΠΑΤῊΡ οὐ φόβον ἐπιθρώσκει. οὐ φόβον ἐμβάλλει ὁ πατήρ, πειθὼ δ' ἐπιχεῖ, ἤτοι ἔρωτα· ἅτε γὰρ ἄκρως αὐτὸς ἀγαθὸς ὤν, οὐδ' ἂν κακοῦ αἴτιος εἴη οὐδενί, ὥστ' ἂν καὶ φοβερὸν εἶναι, ἀγαθῶν δ' ἀεὶ πᾶσιν αἴτιος ὤν, κἂν ἀγαπᾶται ὑπὸ πάντων.

Δῆλοι οὖν εἰσίν, ἄλλοι τε συχνοὶ ἀνθρώπων, τοῖς ἀπὸ ζωροάστρου τούτοις συνῳδόν πῃ κατασκευασάμενοι τὰς δόξας· μάλιστά γε μὴν, καὶ οἱ περί τε πυθαγόραν καὶ πλάτωνα σοφοί, ἐπεὶ καὶ ἐκείνης ἔτι τῆς ζωροάστρου, οἷς φησὶ περὶ αὐτοῦ ὁ πλούταρχος, ὡς τριχῇ τὰ ὄντα δῆλοι· καὶ τῇ μὲν πρώτῃ αὐτῶν μοίρᾳ, ὡρομάζης ἐφεστώη· τοῦτον δ' εἶναι τὸν ὑπὸ τῶν λογίων πατέρα καλούμενον. τῇ δ' ἐσχάτῃ ἀριμάνην, μίθρην δὲ τῇ μέσῃ· καὶ τοῦτον δ' ἂν εἶναι τὸν δεύτερον νοῦν καλούμενον ὑπὸ τῶν λογίων· μίθρην δὲ καὶ τὸν ἥλιον πέρσαι καλεῖσθαι· διὰ ἡλίου τύπου, ὡρομάζην μὲν τριπλάσιον ἑαυτὸν ἀφεστακέναι· μίθρην δὲ δηλονότι, τὸν μετά γε ὡρομάζην, διπλάσιον, οἷσπερ πάντως συνῳδὰ καὶ τὰ πλάτωνος ἐκεῖνα ἐστί, περὶ τὸν πάντων βασιλέα πάντ' ἐστί· καὶ ἐκείνου ἕνεκα πάντα· καὶ ἐκεῖνο αἴτιον ἁπάντων τῶν καλῶν· δεύτερον δὲ, περὶ τὰ δεύτερα· καὶ τρίτα, περὶ τὰ τρίτα· μοίρας δὲ τρεῖς ἐφ' ἃς ζωροάστρης τε καὶ πλάτων τὰ ὄντα διῃρήκασιν εἶναι· πρώτην μὲν, τὴν αἰώνιον· δευτέραν δὲ, τὴν ἐγχρόνιον μὲν, ἀΐδιον δέ. τρίτην δὲ, τὴν θνητήν. ζωροάστρην δέ φησι πλούταρχος, οὕτω παλαιόν τινα γεγονέναι, ὡς καὶ πεντακισχιλίοις ἔτεσι τῶν τρωϊκῶν πρεσβύτερον ἱστορεῖσθαι.

τέλος.

VNIVERSIDAD DE SALAMANCA